ὅτου δύναται παραδέχεσθαι τὸ μανθάνον καὶ διαμνημονεῦον,
ὅτι ἐκεῖνό ἐστιν ᾧ δεῖ γιγνώσκειν καὶ ἐν ᾧ γνώμην φυ-
λάσσειν. ἐτίμων γοῦν σφόδρα τὴν μνήμην καὶ πολλὴν
αὐτῆς ἐποιοῦντο γυμνασίαν τε καὶ ἐπιμέλειαν, ἔν τε τῷ
μανθάνειν οὐ πρότερον ἀφιέντες τὸ διδασκόμενον, ἕως
περιλάβοιεν βεβαίως τὰ ἐπὶ τῆς πρώτης μαθήσεως, καὶ
καθ᾽ ἡμέραν λεγομένων ἀνάμνησιν 〈ποιούμενοι〉 τόνδε τὸν
τρόπον. Πυθαγόρειος ἀνὴρ οὐ πρότερον ἐκ τῆς κοίτης 165
ἀνίστατο ἢ τὰ χθὲς γενόμενα πρότερον ἀναμνησθείη. ἐποι-
εῖτο δὲ τὴν ἀνάμνησιν τόνδε τὸν τρόπον. ἐπειρᾶτο ἀνα-
λαμβάνειν τῇ διανοίᾳ, τί πρῶτον εἶπεν ἢ ἤκουσεν ἢ προσ-
έταξε τοῖς ἔνδον ἀναστὰς καὶ τί δεύτερον καὶ τί τρίτον,
καὶ περὶ τῶν ἐσομένων ὁ αὐτὸς λόγος· καὶ πάλιν αὖ ἐξιὼν
τίνι πρώτῳ ἐνέτυχε καὶ τίνι δευτέρῳ, καὶ λόγοι τίνες
ἐλέχθησαν πρῶτοι καὶ δεύτεροι καὶ τρίτοι, καὶ περὶ τῶν
ἄλλων δὲ ὁ αὐτὸς λόγος. πάντα γὰρ ἐπειρᾶτο ἀναλαμ-
βάνειν τῇ διανοίᾳ τὰ συμβάντα ἐν ὅλῃ τῇ ἡμέρᾳ, οὕτω
τῇ τάξει προθυμούμενος ἀναμιμνῄσκεσθαι, ὥς ποτε συνέβη
γενέσθαι ἕκαστον αὐτῶν. εἰ δὲ πλείω σχολὴν ἄγοι ἐν τῷ
διεγείρεσθαι, καὶ τὰ τρίτην ἡμέραν συμβάντα τὸν αὐτὸν
τρόπον ἐπειρᾶτο ἀναλαμβάνειν. καὶ ἐπὶ πλέον ἐπειρῶντο 166
τὴν μνήμην γυμνάζειν· οὐδὲν γὰρ μεῖζον πρὸς ἐπιστήμην
καὶ ἐμπειρίαν καὶ φρόνησιν τοῦ δύνασθαι μνημονεύειν.

ἀπὸ δὴ τούτων τῶν ἐπιτηδευμάτων συνέβη τὴν Ἰταλίαν
πᾶσαν φιλοσόφων ἀνδρῶν ἐμπλησθῆναι καί, πρότερον
ἀγνοουμένης αὐτῆς, ὕστερον διὰ Πυθαγόραν Μεγάλην Ἑλ-
λάδα κληθῆναι, καὶ πλείστους παρ᾽ αὐτοῖς ἄνδρας φιλοσό-